UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Plutarchu Chairōneōs Ta Sōzomena Panta

Continens Moralia

**Plutarchus**

**Francofurti, 1620**

Qua quis ratione seipsum citra invidiam laudare possit

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1372

Visual Library

A

# PLVTARCHI LIBELLUS, docens Qua quis ratione seipsum citra inuidiam laudare possit.

NEMO est, Herculane, qui non dicat molestum atq; illiberale esse, de seipso ad alios loquendo aliquam sibi dignitatem aut potentiam vindica- B re. sed reipsa pauci, eorum etiam qui rem istam vituperant, ingratam eius importunitatem euitauerunt. Euripides quidem insolentissima vsus est iactantia, hæc canens:

*Venalis oratio si esset mortalibus,*
*Laudes nemo sui ipsius vellet dicere.*
*Nunc (ex profundo nanque gratis aere*
*Sumere licet) nemo non gaudet dicere*
*Tam falsa quàm vera: hoc impunè quia licet.*

adde, quòd orationem de seipso inseruit casibus & rebus in tragœdia propositis, nihil ad eas pertinẽtem. Similiter Pindarus quoq;, qui intempestiuã C iactantiam insaniæ succinere dixit, nullum facit finem magnificè loquendi de sua facultate, digna quidem laude: quis hoc negaret? Sed tamen & eorum qui in certaminib. coronantur, alii victoriam proclamant, vt molestam de seipso loquendi ansam præcidãt. & Timotheo in victoriam de Phrynide partã scribenti, Beatus eras Timothee, quando præco dixit, Vincit Timotheus Milesius Carbonis filium Ionocamptam: nõ iniuria succensemus, qui indoctè & iniustè suam ipsius prędicauerit victoriam. Vnicuique enim, vt ait Xenophon, laus ab aliis profecta suauissima est auditu: aliis au- D tem ea molestissima, quam sibi quis ipse tribuit. Primùm n. impudẽtes eos arbitramur, qui seipsos laudant: quia decebat eos pudor, etiamsi ab aliis laudarentur. Secundò, iniustos: sibi sumentes scilicet, quod tribui ab aliis debuit. Tertiò, aut silentes videbimur molestè ferre & inuidere: aut hoc dum vitamus, cogemur præter animi nostri sententiam ipsi quoq; nos ad laudandum conferre, & ipsos testimonium dicẽdo in faciem laudare: hoc est, rem in nos recipere, quæ magis illiberali adulationi, quàm honoris exhibitioni conuenit. Verumenimuerò quanquam hæc ita habent, vsu venire tamẽ potest, vt audendũ sit viro ciuili aliquid E de seipso dicere, nõ gloriæ vllius aut gratiæ captãdæ causa: sed quia occasio & res ita postulent, vt sicut alia vera, ita de seipso etiã proferat: maximè cùm ad præsens institutũ commodè cadit, vt liberaliter profiteatur tale aliquid abs se fuisse gestum aut confectum. Huiusmodi n. laus bonum producit fructum, ex ea tanquam semine pluribus & auctioribus pullulantibus laudib. Quippe gloriã ciuilis vir non vt pręmium aut solatium virtutis exigit, aut amplectitur suis actionibus comitantẽ: sed quòd credi & haberi pro probo, causam & occa- F sionem ipsi plurium pulcriorumq; parit facinorum. dicto enim audientibus & amãtibus faciliùs & suauiùs licet prodesse: qui suspecti sunt aut calumniis onerati, virtute sua non possunt vti, & vim facere beneficium ipsorũ fugientibus. Si verò alias etiam ob causas ciuilis vir seipsum laudare debeat,

# ΠΛΟΥΤΑΡΧΟΥ Περὶ τοῦ ἑαυτὸν ἐπαινεῖν ἀνεπιφθόνως.

ΤΟ περὶ ἑαυτοῦ λέγειν ὡς ὄντος τινὸς ἢ δυναμένου πρὸς ἑτέρους, ὦ Ἡρκλανε, λόγῳ μὲν ἐπαχθὲς ἀποφαίνουσι πάντες καὶ ἀνελεύθερον, ἔργῳ δὲ οὐ πολλοὶ τὴν ἀηδίαν αὐτοῦ διαπεφεύγασιν οὐδὲ τῶν ψεγόντων. ὁ γοῦν Εὐριπίδης εἰπών,

Εἰ δ' ἦσαν ἀνθρώποισιν ὠνητοὶ λόγοι,
Οὐδεὶς ἂν αὑτὸν εὖ λέγειν ἐβούλετο·
Νῦν δ' ἐκ βαθείας γὰρ πάρεστιν αἰθέρος
Λαβεῖν ἀμισθί, πᾶς τις ἥδεται λέγων
Τά τ' ὄντα καὶ μή. ζημίαν γὰρ οὐκ ἔχει.

φορτικωτάτῃ κέχρηται μεγαλαυχίᾳ, καὶ τὸ συγκαταπλέκειν τοῖς τραγῳδουμένοις πάθεσι καὶ πράγμασι μηδὲν προσήκοντα τὸν περὶ αὑτοῦ λόγον. ὁμοίως ὁ Πίνδαρος φήσας καὶ τὸ καυχᾶσθαι παρὰ καιρὸν, μανίαις ὑποκρέκειν, οὐ παύεται μεγαληγορῶν περὶ τῆς ἑαυτοῦ δυνάμεως, ἀξίας μὲν ἐγκωμίων οὔσης (τίς γὰρ οὔ φησιν;) ἀλλὰ καὶ τοὺς στεφανουμένους ἐν τοῖς ἀγῶσιν, ἑτέρους νικῶντας ἀναγορεύουσι, τὴν ἀηδίαν τῆς περιαυτολογίας ἀφαιροῦντες. ᾗ καὶ τὸν Τιμόθεον ἐπὶ τῇ κατὰ Φρυνίδος νίκῃ γράφοντα, Μακάριος ἦσθα Τιμόθεε, ὅτε κάρυξ εἶπε, Νικᾷ Τιμόθεος ὁ Μιλήσιος τὸν Κάρβωνος τὸν ἰωνοκάμπταν, εἰκότως δυσχεραίνομεν ὡς ἀμούσως καὶ παρανόμως ἀνακηρύττοντα τὴν ἑαυτοῦ νίκην. αὐτὸ μὲν γὰρ ὁ παρ' ἄλλων ἔπαινος ἥδιστον ἀκουσμάτων ἐστίν, (ὥσπερ ὁ Ξενοφῶν εἴρηκεν) ἑτέροις δὲ ὁ περὶ αὑτοῦ λυπηρότατον. πρῶτον μὲν γὰρ, ἀναισχύντους ἡγούμεθα τοὺς ἑαυτοὺς ἐπαινοῦντας, αἰδεῖσθαι προσῆκον αὐτοῖς κἂν ὑπ' ἄλλων ἐπαινῶνται. δεύτερον δὲ, ἀδίκους, ἃ λαμβάνειν ἔδει παρ' ἑτέρων, αὐτοῖς διδόντας. τρίτον, ἢ σιωπῶντες ἄχθεσθαι καὶ φθονεῖν δοκοῦμεν, ἢ τοῦτο δεδιότες, ἀναγκαζόμεθα συνεφάπτεσθαι παρὰ γνώμην τῶν ἐπαίνων, καὶ συνεπιμαρτυρεῖν, πρᾶγμα κολακείᾳ μᾶλλον ἀνελευθέρῳ προσῆκον ἢ τιμῇ, τὸ ἐπαινεῖν παρόντας ὑπομένοντες. οὐ μὴν ἀλλὰ καίπερ τούτων οὕτως ἐχόντων, ἔστιν ὅτε παρακινδυνεύσειεν ἂν ὁ πολιτικὸς ἀνὴρ ἅπαξ τῆς καλουμένης περιαυτολογίας πρὸς οὐδεμίαν αὑτοῦ δόξαν ἢ χάριν, ἀλλὰ καιροῦ καὶ πράξεως ἀπαιτούσης, ὥσπερ ἄλλο τι, καὶ περὶ αὑτοῦ λεχθῆναι τῶν ἀληθῶν, μάλιστα δ' ὅταν ἢ τὰ πεπραγμένα καὶ προσόντα χρηστά, δεῖ μὴ φεισάμενον εἰπεῖν ἢ διαπράξασθαί τι τῶν ὁμοίων. καλὸν γὰρ ὁ τοιοῦτος ἔπαινος ἐκφέρει καρπόν, ὥσπερ ἀπὸ σπέρματος πλειόνων ἑτέρων ἀπ' αὐτοῦ καὶ κρειττόνων φυομένων ἐπαίνων. καὶ γὰρ τὴν δόξαν ὁ πολιτικὸς ἀνὴρ οὐχ ὡς μισθὸν ἢ παραμυθίαν τῆς ἀρετῆς ἀπαιτεῖ, καὶ ἀγαπᾷ ταῖς πράξεσι παροῦσαν, ἀλλ' ὅτι τὸ πιστεύεσθαι καὶ δοκεῖν χρηστὸν εἶναι, πλειόνων καὶ καλλιόνων πράξεων ἀφορμὰς δίδωσι. πειθομένους γὰρ ἅμα καὶ φιλοῦντας ἡδὺ καὶ ῥᾴδιον ὠφελεῖν, πρὸς δὲ ὑποψίαν καὶ διαβολὴν οὐκ ἔστι χρήσασθαι τῇ ἀρετῇ φεύγοντας εὖ παθεῖν προσβιαζόμενον. εἰ δὲ καὶ δι' ἑτέρας τινὰς ὁ πολιτικὸς ἂν αὑτὸν ἐπαινέσειε,

ἀλλ' οὗτος μὲν ἴσως γελοῖος, ἀθλητικὴν ἀλαζονείαν δειλίας καὶ ἀνανδρίας ἐξομολογήσει παραμυθούμενος. ἐμμελὴς δὲ καὶ χαρίεις ὁ λήθην τινὰ καθ' αὑτοῦ λέγων, ἢ ἄγνοιαν, ἢ φιλοτιμίαν, ἢ πρός τινα μαθήματα καὶ λόγους ἀκρόασιν. ὡς Ὀδυσσεὺς,

αὐτὰρ ἐμὸν κῆρ
Ἤθελ' ἀκουέμεναι, λῦσαι δ' ἐκέλευον ἑταίρους
Ὀφρύσι νευστάζων.

καὶ πάλιν,

Ἀλλ' ἐγὼ οὐ πιθόμην· ἦτ' ἂν πολὺ κέρδιον ἦεν,
Ὄφρ' αὐτόν τε ἴδοιμι, καὶ εἴ μοι ξείνια δοίη.

καὶ ὅλως ὅσαι μὴ παντάπασιν αἰσχραὶ μηδ' ἀγεννεῖς ἁμαρτίαι, παρατιθέμεναι τοῖς ἐπαίνοις, τὸν φθόνον ἀφαιροῦσι. πολλοὶ δὲ καὶ πενίας καὶ ἀπειρίας, καὶ νὴ Δία δυσγενείας ἐξομολόγησιν ἔστιν ὅτε τοῖς ἐγκωμίοις παρεμβάλλοντες, ἀμβλυτέρῳ τῷ φθόνῳ χρῶνται. καθάπερ Ἀγαθοκλῆς χρυσᾶ ποτήρια καὶ τορευτὰ τοῖς νέοις προπίνων, ἐκέλευσε καὶ κεραμεᾶ κομισθῆναι· καὶ, Τοιοῦτόν ἐστιν (ἔφη) τὸ ἐνδελεχὲς καὶ φιλόπονον καὶ ἀνδρεῖον· ἡμεῖς πάλαι ταῦτα, νῦν δ' ἐκεῖνα ποιοῦμεν. ἐδόκει γὰρ ἐν κεραμείῳ τεθράφθαι διὰ δυσγένειαν καὶ πενίαν ὁ Ἀγαθοκλῆς, εἶτα συμπάσης ὀλίγου δεῖν ἐβασίλευσε Σικελίας. καὶ ταῦτα μὲν ἔξωθέν ἐστιν ἐπεισάγεσθαι φάρμακα τῆς περιαυτολογίας. ἕτερα δ' αὖ τρόπον τινὰ τοῖς ἐπαινουμένοις ἔνεστιν, οἷς καὶ Κάτων ἐχρῆτο, φθονεῖσθαι λέγων ὅτι τῶν ἰδίων ἀμελεῖ, καὶ τὰς νύκτας ἀγρυπνεῖ διὰ τὴν πατρίδα, καὶ τὸ, Πῶς δ' ἂν φρονοίην, ᾧ παρῆν ἀπραγμόνως Ἐν τοῖσι πολλοῖς ἠριθμημένῳ στρατοῦ, Ἴσον μετασχεῖν τῷ σοφωτάτῳ τύχης· καὶ τὸ, Ὀκνῶ δὲ μόχθων τῶν πρὶν ἐκχέαι χάριν, Καὶ τοὺς παρόντας οὐκ ἀπωθοῦμαι πόνους. ὡς γὰρ οἰκίαν καὶ χωρίον, οὕτω καὶ δόξαν οἱ πολλοὶ καὶ ἀρετὴν, τοῖς προῖκα καὶ ῥαδίως ἔχειν δοκοῦσιν, οὐ τοῖς πριαμένοις πόνων πολλῶν καὶ κινδύνων φθονοῦσιν· ἐπεὶ δ' οὐ μόνον ἀλύπως καὶ ἀνεπιφθόνως, ἀλλὰ καὶ χρησίμως καὶ ὠφελίμως προσοιστέον ἐστὶ τοὺς ἐπαίνους, ἵνα μὴ τοῦτο πράττειν, ἀλλ' ἕτερόν τι διὰ τούτου δοκῶμεν· ὅρα πρῶτον εἰ προτροπῆς ἕνεκα καὶ ζήλου καὶ φιλοτιμίας τῶν ἀκουόντων, αὑτὸν ἄν τις ἐπαινέσειεν. ὥσπερ ὁ Νέστωρ τὰς ἑαυτοῦ διηγούμενος ἀριστείας καὶ μάχας, τόν τε Πάτροκλον παρώρμησε, καὶ τοὺς ἐννέα πρὸς τὴν μονομαχίαν ἀνέστησεν. ἡ γὰρ ἔργον ὁμοῦ καὶ λόγον ἔχουσα προτροπὴ, καὶ παράδειγμα καὶ ζῆλον οἰκεῖον, ἔμψυχός ἐστι, καὶ κινεῖ καὶ παροξύνει, καὶ μεθ' ὁρμῆς καὶ προαιρέσεως ἐλπίδας ὡς ἐφικτῶν καὶ οὐκ ἀδυνάτων παρίστησι. διὸ καὶ τῶν ἐν Λακεδαίμονι χορῶν ᾄδουσιν οἱ μὲν τῶν γερόντων, Ἄμες ποτ' ἦμεν ἄλκιμοι νεανίαι· οἱ δὲ τῶν παίδων, Ἄμες δέ γ' ἐσσόμεθα πολλῷ κάρρονες· οἱ δὲ τῶν νεανίσκων, Ἄμες δέ γ' εἰμέν· αἰ δὲ λῇς, αὐγάσδεο· καλῶς καὶ πολιτικῶς τοῦ νομοθέτου τὰ πλησίον καὶ οἰκεῖα παραδείγματα τοῖς νέοις δι' αὐτῶν τῶν εἰργασμένων ἐκτιθέντος. οὐ μὴν ἀλλὰ καὶ καταπλήξεως ἐνίοτε καὶ συστολῆς ἕνεκα καὶ τοῦ ταπεινῶσαι καὶ λαβεῖν ὑποχείριον τὸν αὐθάδη καὶ ἰταμὸν, οὐ χεῖρόν ἐστι κομπάσαι τι περὶ αὑτοῦ καὶ μεγαληγορῆσαι. καθάπερ αὖ πάλιν ὁ Νέστωρ,

Ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν ἠέπερ ὑμῖν
Ἀνδράσιν ὡμίλησα, καὶ οὔ ποτέ μ' οἵ γ' ἀθέριζον.

supra p. 208.

A Quanquam hic quidē fortaſſe ridiculus eſt, athleticam arrogantiam timiditatis & ignauiæ confeſſione excuſans. Is accuratus & elegans, qui obliuionem de ſe aliquam, aut ignorantiam, aut ambitionem, aut auditionem alicuius diſciplinæ vel ſermonis prodit. Sic Vlyſſes,

*Aſt ego Sirenum voces audire cupiui,*
*Soluere me ſocios nutuq́, oculiſq́, iubebam.*

Et

*Nec mihi perſuaſum eſt: (melius parere fuiſſet*
*Multo equidem) volui luſtrare, & munera ab illo*
*Sperabam. --*

atque omnino quæcunq; non plane turpia & inde-

B cora peccata laudibus admixta, invidiam avertunt. Multi paupertatem, imperitiam, atq; adeo ignobilitatem inter ſuas laudes dum confitentur, inuidiā retundunt. Sic Agathocles aurea pocula & cælata præbibens adoleſcentibus, iuſſit etiam fictilia proferri: &, Talis, inquit, res eſt adſiduitas laboris ac tolerantia & fortitudo. nos olim lutea, nūc aurea facimus pocula. etenim Agathocles, qui ob obſcuritatem generis & egeſtatem credebatur in figuli officina educatus, poſtmodo regnum totius prope Siciliæ obtinuit. Atq; hæc quidem remedia extrinſecus adſciſcuntur orationi quam de ſe quis habet.

C Quædam alia in ipſis quodammodo inſunt, qui ſeipſos laudant. His Cato vſus eſt, Invideri ſibi dicens, quod ſuis rebus neglectis noctes patriæ cauſa vigilaret. tale & iſtud:

*Iactone me? qui poteram ſine negocio,*
*Numeratus in vulgari cenſu exercitus,*
*Fortuna eadem cum primo ſapientia*
*Frui. -*

Item:

*Vereor laborum gratiam profundere*
*Quos pertuli: neq́, nunc hos detrecto nouos.*

Vt enim domum aut prædium, ita gloriam quoq; & virtutis laudē vulgo, ijs qui gratis & nullo negocio, non qui redemerint multis laboribus & periculis,

D inuident. Quoniam autem non modo citra dolorē aliorum & inuidiā, ſed etiam cum eorum vtilitate vſurpandæ nobis ſunt noſtræ laudes, ne hoc agere, vt nos laudemus, ſed eo ipſo aliud aliquid moliri videamur: primum hoc conſidera, an excitandi ſtudij æmulationiſq; virtutū gratia apud auditores aliquis ſeipſum laudare poſſit. Hoc ſane modo Neſtor ſuas pugnas & præclara facinora narrando, & Patroclū ad pugnā inſtigauit, & nouē Græcos heroes ad ſingulare cum Hectore prœlium excitauit. Exhortatio enim quæ factum verbis coniunctum habet, exemplumq; proprium ad imitationē inuitans, animata

E eſt & mouet atq; exſtimulat, & cum impetu ac propoſito animi ſpem etiam conſequendi & potiundi eius, ad quod impellimur, certam inijcit. Hinc eſt, quod Lacedæmone chorus ſenum cantat,

*Nos fuimus olim iuvenes valde ſtrenui:*

puerorum,

*Nos erimus olim fortiores plurimò:*

iuvenum:

*Fortes ſumus nos: fac, ſi vis, periculum.*

legislatore præclare & ciuili rationi cōvenienter vicina & domeſtica exempla adoleſcentibus eorū qui rem geſſiſſent proponente. Enimvero interdū etiā

F ad reprimendum, ac humiliandum & cicurandum hominem inſolentem ac ferocem conducit de ſe ipſo aliquid tumidius iactare. vt rurſum Neſtor,

*Certe, ego cum, quàm vos ſitis, melioribus olim*
*Conſueui, vixiq́, viris: neq́, me tamen illi*
*Spreuerunt. -*

